φίλος κρείττων κόλακος ὅσον τὸ ἀγαθὸν τοῦ ἡδέος. ὁ μὲν γὰρ φίλος διὰ τὸ ἀγαθὸν καὶ λυπῆσαι ἀνέχεται, ὁ δὲ κόλαξ πρὸς τὸ ἡδὺ βλέπων βλάπτει τὸν πλησιάζοντα· αὕτη τοίνυν ἡ κολακεία ἢ περὶ ψυχὴν θεωρεῖται ἢ περὶ σῶμα, καὶ εἰ μὲν περὶ σῶμα ποιεῖ τὴν ὀψοποιητικὴν καὶ τὴν κομμωτικήν· κολακεύει γὰρ ὁ τὰ ὄψα ποιῶν τὸ ἡδὺ μνηστευόμενος τῷ ἐσθίοντι κἂν βλαβερὸν ᾖ, ὡσαύτως καὶ ἡ κομμωτικὴ τὸ κάλλος τῶν τριχῶν φυλάττουσα· εἰ δὲ περὶ ψυχήν, ποιεῖ τὴν σοφιστικήν τε καὶ τὴν ῥητορικήν· εἰ τοίνυν τοῦ πολιτικοῦ, τὸ μέν ἐστι περὶ νομοθετικόν, τὸ δὲ δικαστικόν· τὸ μὲν νομοθετικὸν ὅμοιον τῇ γυμναστικῇ· φυλάττει γὰρ τοὺς καλῶς κειμένους νόμους ὥσπερ ἐκείνη τὴν ὑγίειαν, τὸ δὲ δικαστικὸν τῇ ἰατρικῇ, ἐπανορθοῦται γὰρ τὰ πλημμεληθέντα, ὥσπερ ἐκείνη τὰ παρὰ φύσιν ἐπὶ τὰ κατὰ φύσιν ἄγει. ἰστέον οὖν ὅτι τὴν μὲν νομοθετικὴν ὑποδύεται ἡ σοφιστική, τὴν δὲ δικαστικὴν ἡ ῥητορική, ὥστε ἔστιν συναγαγεῖν καὶ εἰπεῖν, ὅτι ῥητορική ἐστιν ἐμπειρία κολακικὴ περὶ τὴν ψυχὴν τῆς πολιτικῆς μορίου τοῦ δικαστικοῦ εἴδωλον. ταῦτα τοίνυν περὶ τῆς δημώδους εἴρηται ῥητορικῆς· ἡ γὰρ ὄντως ῥητορική, ἡ τῷ πολιτικῷ ἀκολουθοῦσα θεία ἐστιν, ἣν ἀδύνατον κατορθῶσαί τινα μὴ πρότερον φιλοσοφήσαντα.

## p. 462 b. πρᾶγμα, ὃ φῂς σύ.

ἐρωτήσαντος τοῦ Πώλου, ὅτι μετὰ τὸ γένος τῆς ῥητορικῆς, **4**
ὅ ἐστι τῆς τέχνης, εἰπὲ τὰς διαφοράς, ὁ Σωκράτης λέγει, ὅτι οὐ τίθημι τὸ γένος, οὐδὲ γὰρ τέχνην λέγω τὴν ῥητορικὴν

---

4 mg. ἡ κολακεία θεωρεῖται

περὶ ψυχήν — σοφιστικήν, ῥητορικήν

περὶ σῶμα — ὀψοποιητικήν, κομμωτικήν

9 mg. περὶ ψυχήν: σοφιστική, ῥητορική, νομοθετική, δικαστική; περὶ σῶμα: κομμωτική, ὀψοποιητική, γυμναστική, ἰατρική

18 mg. ὁ κατὰ Πλάτωνα τῆς δημώδους ῥητορικῆς ὁρισμός

---

13 πλημμεληθέντα] μ. (alt.) supr. lin. add. M[c] 23 τὸ supr. lin. add. M[c]